πρὸς μικρὸν ἐποίησεν ὀκλαδῆσαι εἰς γῆν. καὶ τότε κατὰ ἰλ. λ΄. 376.
τοῦ ταρσοῦ τοξεύει τὸν διομήδην ἀλέξανδρος. μονωθεὶς ἰλ. λ΄. 419.
δὲ ὀδυσσεὺς, καὶ συγκλεισθεὶς τοῖς τρωσὶ, τιτρώσκει μὲν
δηϊοπίτην, ἀναιρεῖ δὲ θόωνα, εὔνομον, χερσιδάμαντα, ἰλ. λ΄. 420. 422. 423. 426.
καὶ χάροπα τὸν ἱππάσου, καὶ σῶκον, ὑφ' οὗ προετρώθη ἰλ. λ. 428. 434. 447.
ἐγγὺς τῶν πλευρῶν. αἴας δὲ, σὺν μενελάῳ, ἐλ- ἰλ. λ΄. 484. 486.
θὼν, τοῦτον μὲν σώζει, ἀναιρεῖ δὲ δόρυκλον, νόθον ἰλ. λ΄. 488. sqq.
πριάμου, πάνδοκον[85], λύσανδρον[86], πύλαρσον, καὶ πυλάρ-
την. ἀλέξανδρος δὲ τότε ἀριστεύοντα τὸν μαχάο- ἰλ. λ΄. 505.
να τιτρώσκει κατὰ τὸν δεξιὸν ὦμον. νέστωρ δὲ ἐξάγει ἰλ΄. λ. 517.
τοῦτον ἐκ τοῦ πολέμου. βιαζόμενον δὲ τοῖς βέλεσι ἰλ. λ΄. 573.
αἴαντα εὐρύπυλος θεασάμενος, στὰς τούτου πλησί-
ον βάλλει καθ' ἧπαρ ἀπισάονα τὸν φαυσίου. ἰλ. λ΄. 576.
σκυλεύων δὲ τοῦτον, καὶ αὐτὸς ὑπ' ἀλεξάνδρου το- ἰλ. λ΄. 580.
ξεύεται κατὰ τοῦ μηροῦ. ἐκλάσθη δὲ καὶ τοῦ βέλους ἰλ. λ΄. 581. sq.
δόναξ ἐν τῷ μηρῷ. περιστάντων δὲ τῶν ἑταίρων, ἰλ. λ΄. 583.
σώζεται, καὶ μετὰ ~~μικρὸν~~ ὑπὸ πατρόκλου ἰᾶται. ἰλ. λ΄. 825.

202. ΤΕΙΧΟΣ ΔΕ ΤΡΩΕΣ. πρὸ τοῦ καταχθῆναι τὸ
τεῖχος, πολυποίτης καὶ λεοντεὺς, οἱ τῶν λαπιθῶν βα- ἰλ. μ΄. 128. sqq.
σιλεῖς, πολλοὺς τῶν τρώων ἀναιροῦσι. πολυποίτης ἰλ. μ΄. 183. 187.
μὲν, ὁ πειρίθου, δάμασον, πύλωνα, καὶ ὄρμενον.
λεοντεὺς δὲ, ὁ ἀντιμάχου, δορὶ μὲν[87] ἱππόμαχον, ξί- ἰλ. μ΄. 188.
φει δὲ ἀντιφάτην, μένωνα, ἰαμενὸν, καὶ ὀρέστην. ἰλ. μ΄. 191.
ἐπιβαινόντων δὲ τῶν λυκίων, μετὰ σαρπηδόνος καὶ γλαύ- ἰλ. μ΄. 329. 331.
κου, ἐπὶ τὸν μενεσθέως πύργον, αἴας, ἐλθὼν ἀ- ἰλ. μ΄. 368.
μῦναι, μάρμαρον[88] ἀνεῖλεν, ἐπικλέα, σαρπηδόνος ἰλ. μ΄. 378. sq.
ἑταῖρον. τεῦκρος δὲ ἰῷ βάλλει γλαῦκον κατὰ ἰλ. μ΄. 386. sqq.
τοῦ βραχίονος, ἐπιβαίνοντα τοῦ τείχους, καὶ φυγά-
δα ἐργάζεται. σαρπηδὼν δὲ[89] ἀλκμαίωνα, τὸν θέ- ἰλ. μ΄. 393.
στορος υἱὸν, ἀναιρεῖ, καὶ τὴν[90] ἔπαλξιν ταῖς χερσὶ περι- ἰλ. μ΄. 396.
αιρεῖ, καὶ τοῦ τείχους ἔμελλεν ἐπιβαίνειν, εἰ μὴ τεῦκρος ἰλ. μ΄. 399. sq.
ἰῷ τοῦτον ἐβεβλήκει κατὰ τοῦ τῆς ἀσπίδος τελαμῶνος.
αἴας δὲ, ἐφαλλόμενος, ἔνυξεν αὐτοῦ τὴν ἀσπίδα, καὶ ἰλ. μ΄. 403.
τοῦτον[91] ἀπεπαύσατο. ἕκτωρ δὲ, λίθῳ τὰς πύλας δι- ἰλ. μ΄. 456. 461.
αρρήξας, ὕστερον εἰσῆλθεν. οἱ δὲ ἕλληνες πρὸς τὰς ναῦς ἰλ. μ΄. 469. sq.
ἔφυγον :—